*Ἦθος ἀνθρώπῳ δαίμων.* B 119

*Ἠοῦς καὶ ἑσπέρας τέρματα ἡ ἄρκτος καὶ ἀντίον τῆς ἄρκτου οὖρος αἰθρίου Διός.*

B 120

*Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι πᾶσι καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν, οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον φάντες· ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω, εἰ δὲ μή, ἄλλη τε καὶ μετ᾽ ἄλλων.*

B 121

*Ἀγχιβασίη.* B 122

*Φύσις κρύπτεσθαι φιλεῖ.* B 123

*Ὅκωσπερ σάρμα εἰκῆ κεχυμένον ὁ κάλλιστος κόσμος.* B 124

*Καὶ ὁ κυκεὼν διίσταται μὴ κινούμενος.*

B 125

*Μὴ ἐπιλίποι ὑμᾶς πλοῦτος, Ἐφέσιοι, ἵν᾽ ἐξελέγχοισθε πονηρευόμενοι.* B 125 a

*Τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον νοτίζεται.* B 126